# 7 ΙΟΥΛΙΟΥ 2020

## +Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Κυριακῆς.




## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὸν Ἑξάψαλμον,...**

**Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις**

***Ὅτι πρέπει σοι πᾶσα δόξα...***

**Ἦχος α'**

**ὁ α' χορὸς**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**ὁ β' χορὸς**

**Στίχ, α'. Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**ὁ α' χορὸς**

**Στίχ, β'. Π**άντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**ὁ β' χορὸς**

**Στίχ, γ'. Π**αρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Ἀπολυτίκιον  Ἦχος α'**

**ὁ α′ χορὸς**

**Τοῦ λίθου σφραγισθέντος.**

Φερωνύμως τῇ κλήσει τὴν σπουδήν σου κατάλληλον, ἀνεδείξω ἀληθῶς, Κυριακὴ μεγαλώνυμε' κυρία σαρκός τε καὶ παθῶν ἀτίμων ἐφάνης ἀνδρικῶς, καὶ παρέχεις τὰς ἰάσεις τοῖς εὐσεβῶς τῷ ναῷ σου προσπελάζουσι' δόξα τῷ σὲ δοξάσαντι Χριστῷ' δόξα τῷ σὲ στεφανώσαντι' δόξα τῷ ἐν κινδύνοις ἡμῶν προστάτην δείξαντι.

**ὁ β′ χορὸς**

**Δόξα Πατρὶ...**

**Ἕτερον. Ἦχος Δ'. Ταχὺ προκατάλαβε.**

Ὡς βρύσις πολύκρουνος παρθενομάρτυς Χριστοῦ, κατῄρδευσας πάνσοφε τὴν Ἐκκλησίαν αὐτοῦ, καὶ ἤθλησας ἄριστα' ἔσωσας τοὺς ἐν σκότει τῆς εἰδωλομανίας, αἴγλῃ τῶν σῶν θαυμάτων, Κυριακὴ ἀθληφόρε' διὸ ἐν παῤῥησίᾳ Χριστῷ πρέσβευε σωθῆναι ἡμᾶς.

**ὁ α′ χορὸς**

**Καὶ νῦν... Θεοτοκίον  ὁ αὐτὸς**

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ὁ ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεός, ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρόν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου **τὰς ψυχὰς ἡμῶν.**

**Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις**

***Ὅτι σὸν τὸ κράτος...***

**ΚΑΘΙΣΜΑΤΑ**

**Μετὰ τὴν α' Στιχολογίαν**

**Ἦχος α'**

**ὁ α′ χορὸς**

**Τὸν τάφον σου Σωτὴρ**

Τὸ αἷμά σου σεμνή, ὡς ἀλάβαστρον μύρου, ἐνήνοχας Χριστῷ, τῷ νυμφίῳ σου πόθῳ, ἀντάμειψιν δὲ εἴληφας παρ' αὐτοῦ ἀξιάγαστε, ὅθεν ἔλαβες τῶν ἰαμάτων τὴν χάριν, πᾶσαν φάλαγγα ἀποδιώκειν δαιμόνων, δυνάμει τοῦ Πνεύματος.

**ὁ β′ χορὸς**

**Δόξα Πατρί... Καὶ νῦν...Θεοτοκίον**

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

**Μετὰ τὴν β' Στιχολογίαν**

**Ἦχος δ'**

**ὁ α′ χορὸς**

**Ἦχος δ'. Ταχὺ προκατάλαβε.**

Τὴν μνήμην τελοῦντες σου, Κυριακή, τὴν σεπτήν, τὴν χάριν αἰτούμεθα καὶ τὴν ἀντίληψιν, τὴν σὴν οἱ τιμῶντές σε, ῥῦσαι οὖν ἀθληφόρε ταῖς θερμαῖς σου πρεσβείαις, πάσης δεινῆς ἀνάγκης τοὺς τιμῶντας σε πόθῳ ,καὶ τῶν πλημμελημάτων παράσχου τὴν ἄφεσιν.

**ὁ β′ χορὸς**

**Δόξα Πατρὶ... Καὶ νῦν...Θεοτοκίον**

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσι σε καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν ἄνελε τῷ Σταυρῷ σου τοὺς ἡμᾶς πολεμοῦντας' γνώτωσαν πῶς ἰσχύει ὀρθοδόξων ἡ πίστις' πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

**Μετὰ τὸν Πολυέλεον**

**Ἦχος δ'**

**ὁ α' χορὸς**

**Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.**

Τὸν ὡραιότατον Χριστὸν ἀγαπήσασα καὶ παρθενία τὴν ψυχὴν ὡραΐσασα διὰ παντοίων πόνων τε καὶ θλίψεων, τούτῳ κατηγγύωσαι, ὥσπερ ἄμωμος νύμφη ὅθεν κατηξίωσαι οὐρανίων θαλάμων, ὑπὲρ ἡμῶν πρεσβεύουσα αὐτῷ, τῶν σὲ τιμώντων μαρτύρων ὡράϊσμα.

**ὁ β' χορὸς**

**Δόξα Πατρὶ... Καὶ νῦν...Θεοτοκίον**

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται Πανάμωμε; τὰς ἐπαναστάσεις δέ, τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν; Ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἀγαθή, τούτων μοι πάντων, τὴν λύτρωσιν δώρησαι.

**Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.**

**ὁ α' χορός**

- · Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

**ὁ β' χορός**

- · Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

**ὁ α' χορός**

- Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

**ὁ β' χορός**

- Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

**ὁ α' χορός**

**Δόξα Πατρί...**

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**ὁ β' χορός**

**Καὶ νῦν...**

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

**ὁ α' χορός**

**Προκείμενον Ἦχος δ'**

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καί εἰσήκουσε τῆς δεήσεώς μου.

**ὁ β' χορός**

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καί εἰσήκουσε τῆς δεήσεώς μου.

**ὁ α' χορός**

**Στίχ.** Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καί εἰσήκουσε **τῆς δεήσεώς μου.**

**Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου**

**ὁ α' χορὸς**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**ὁ β' χορὸς**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**ὁ α' χορὸς**

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

**Κατὰ Μάρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.**

*Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα ἀκούσασα περὶ τοῦ ᾽Ιησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ·ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο; καί περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην,* ***καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.***

Δόξα Σοι Κύριε, δόξα Σοι.

**Ὁ Ν' ψαλμὸς χύμα**

**ὁ α' χορὸς**

**Δόξα Πατρί... Ἦχος β'**

Ταῖς τῆς Ἀθληφόρου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**ὁ β' χορὸς**

**Καὶ νῦν...**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**ὁ α' χορὸς**

**Ἦχος β'**

**Στίχ.** Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Ἰδιόμελον**

Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ ἁγία τὴν λαμπάδα ἄσβεστον τηρήσασα' ἀκούσωμεν τῆς παρθένου ἐγκώμιον, ὢ παρθενία ναὸς Θεοῦ, ὢ παρθενία μαρτύρων δόξα, ὢ παρθενία, **ἀγγέλων συνόμιλε.**

*Σῶσον ὁ Θεὸς τὸν λαὸν σου...Ἐλέει καὶ οἰκτιρμοῖς...*

## ΚΑΝΟΝΕΣ

### Ὁ Κανὼν τῆς Θεοτόκου

**ᾠδὴ α' Ἦχος β'**

**ὁ α' χορὸς**

Δεῦτε λαοὶ ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι τὸν λαὸν ὅν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

**ὁ β′ χορὸς**

Δεῦτε λαοὶ...

**ὁ α′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸν εὐσεβῶς, σὲ Θεοτόκον κυρίως Ἁγνήν, ὁμολογοῦντα, ἄχραντε, ψυχῇ καὶ σώματι, χαλεπῶν ἐκ κινδύνων, καὶ νόσων καὶ πταισμάτων, σύ με διάσωσον.

**ὁ β′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλην ἐν σοί, τῶν χαρισμάτων τὴν ἄβυσσον, ἀποκειμένην ἔγνωμεν διὸ προσφεύγοντες, Θεοτόκε προθύμως, τῇ σκέπῃ σου τῇ θείᾳ ,διασῳζόμεθα.

**ὁ α′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑπὲρ ἡμῶν, τῶν σὲ ὑμνούντων δυσώπησον, τὸν σαρκωθέντα πάναγνε, ἐκ τῶν ἀχράντων σου, καὶ τιμίων αἱμάτων, ρυσθῆναι ἐκ πταισμάτων, καὶ νοσημάτων πικρῶν.

**ὁ β′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ οἱ πιστοί, καύχημα πάντες κεκτήμεθα, καταφυγὴν καὶ στήριγμα, καὶ ἀγαλλίαμα, καὶ ψυχῶν σωτηρίαν, ἐλπίδα τε καὶ τεῖχος θεοχαρίτωτε.

**Καὶ τῆς Ἁγίας, Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.**

ᾠδὴ α'

**ὁ α′ χορὸς**

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Χαρμονικῶς, ἐπί τῇ μνήμῃ χορεύσωμεν, τῆς ἀθληφόρου Μάρτυρος, καὶ ἐκβοήσωμεν ταῖς αὐτῆς ἱκεσίαις, Χριστὲ Σωτὴρ οἰκτίρμον, σῷζε τὸν κόσμον σου.

**ὁ β′ χορὸς**

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Αἴγλῃ τῇ σῇ, φωτιζομένη ἡ ἔνδοξος, Κυριακὴ φιλάνθρωπε, σκότος διέφυγε, πολυθέου ἀπάτης, καὶ πᾶσιν ἰαμάτων, φέγγος ἀπήστραψεν.

**ὁ α′ χορὸς**

**Δόξα Πατρί...**

Ἵνα Χριστῷ, τῷ ἀθανάτῳ Νυμφίῳ σου, εὐαρεστήσῃς θάνατον, καὶ πῦρ καὶ βάσανα, εἰς οὐδὲν ἐλογίσω διὸ τῆς ἀθανάτου, δόξης ἠξίωσαι.

**ὁ β′ χορὸς**

**Καὶ νῦν...Θεοτοκίον**

Ῥύμην ἁγνή, τὴν τοῦ θανάτου ἀνέστειλας, ἀθανασίας πρόξενον, Χριστὸν κυήσασα' ὃν ὁ Ἅιδης θανέντα, βουλήσει ἑκουσίᾳ, ἰδὼν ἐτρόμαξε.

ᾠδὴ γ'

**ὁ α′ χορὸς**

**Ὁ Εἱρμὸς**

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

**ὁ β′ χορὸς**

Στερέωσον ἡμᾶς...

**ὁ α′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πρεσβείαις σου Ἁγνὴ Θεόν, ὃν ἔτεκες, παράσχου εὐΐλατον σοῖς ἱκέταις, τοῖς προστρέχουσι τῇ σκέπῃ σου, καὶ πιστῶς προσκυνοῦσί σου τὴν κύησιν.

**ὁ β′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥημάτων τῆς ἐμῆς ψυχῆς ἐπάκουσον, Παρθένε, ἐκ βάθους μου τῆς καρδίας, ἣν προσφέρω σοι πανύμνητε ἐκ παθῶν καὶ κινδύνων με διάσωσον.

**ὁ α′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλην μου τὴν ζωὴν διακυβέρνησον, παρθένε ἐλπίς μου καὶ προστασία, πειρασμῶν καὶ περιστάσεως, λυτρουμένη δεινῶν με ἀειπάρθενε.

**ὁ β′ χορὸς**

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον, ἀγκάλαις ὡς φέρουσα Θεοτόκε, ἐξ ἀγνοίας καὶ πλανήσεως, λυτρωθῆναι τοὺς ὑμνοῦντας σε Ἱκέτευε.

ᾠδὴ γ'

**ὁ α′ χορὸς**

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ Λόγος τοῦ Θεοῦ ἁγνήν σε ἄφθορον, ὡς κάλλει ἐκλάμπουσαν τῆς ψυχῆς σου, ἑαυτῷ νύμφην προσήκατο, ἐρασθείς σου δι' ἄκραν ἀγαθότητα.

**ὁ β′ χορὸς**

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὰ κάλλη τὰ ἐκτὸς καταμαράνασα, τὴν ἔνδον ὑπέδειξας εὐμορφίαν, τῷ γιγνώσκοντι τὰ κρύφια, διὰ τοῦτό σε Μάρτυς ἐμνηστευσατο.

**ὁ α′ χορὸς**

**Δόξα Πατρὶ...**

Ὡς κλάδος ἱερὸς ὡραία τέθηλας, ἐκ ῥίζης ἁγίας παρθενομάρτυς, καὶ καρποὺς ὡραίους ἤνεγκας τὴν τρυφὴν τὴν ἀγήρω προξενοῦντάς σοι.

**ὁ β′ χορὸς**

**Καὶ νῦν...Θεοτοκίον**

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον, τεκοῦσα Παρθένε τοῦ σοφιστοῦ με, τῆς κακίας ἐλευθέρωσον, μεσιτείᾳ σου **μόνη παναμώμητε.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

***Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...***

**Κάθισμα Ἦχος πλ.α'**

**ὁ β′ χορὸς**

**Τὸν συνάναρχον λόγον.**

Τὰς βασάνους γενναίως ἡ ἀθληφόρος σου, ὑπομείνασα πάσας τὰς τῶν τυράννων Χριστέ, κατεπάτησεν ἐχθρὸν τὸν πολυμήχανον, καὶ ἀνεδείχθη ἀληθῶς τροπαιοφόρος παρ' αὐ-τοῦ, καὶ στέφος εἴληφε δόξης, ἐκ σοῦ τοῦ ἀγωνοθέτου καὶ νῦν πρεσβεύει εἰς τὸ σωθῆναι ἡμᾶς.

**ὁ α′ χορὸς**

**Δόξα Πατρὶ... Καὶ νῦν... Θεοτοκίον**

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων **τὸν Τόκον σου.**

**Κανὼν τῆς Θεοτόκου**

**Ὁ Εἱρμὸς**

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων Σε.

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πρεσβείαις σου Ἁγνὴ Θεὸν ὃν ἔτεκες, παράσχου εὐΐλατον σοῖς ἱκέταις, τοῖς προστρέχουσι τῇ σκέπῃ σου, καὶ πιστῶς προσκυνοῦσί σου τὴν κύησιν.

**Στίχ**. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥημάτων τῆς ἐμῆς ψυχῆς ἐπάκουσον, Παρθένε δεινῶς ἐκταραττομένης, ἣν εἰρήνευσον Πανύμνητε, ἀεὶ ταύτην κινδύνων διασῴζουσα.

**Στίχ**. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλην μου τὴν ζωὴν διακυβέρνησον, Παρθένε ἐλπίς μου καὶ προστασία, πειρασμῶν καὶ περιστάσεων, λυτρουμένη δεινῶν με Θεονύμφευτε.

**Στίχ**. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον, ἀγκάλαις ὡς φέρουσα Θεομῆτορ, ἐξ ἀγνοίας καὶ πωρώσεως, λυτρωθῆναι ἡμᾶς νῦν καθικέτευε.

**Ὠιδὴ δ' .**

**Εἰσακήκοα Κύριε.**

**Στίχ**. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Ἐπὶ βήματος ἵστασο, Κυριακή, ἀδίκως κρινομένη, καὶ κριτῇ δικαίῳ ἐνατενίζουσα.

**Στίχ**. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Μέλη σώματος ἔδωκας, εἰς αἰκισμούς, καὶ αἵματος Παρθένε, ταῖς ῥοαῖς ἀσάρκους ἐχθροὺς ἐβύθισας.

**Δόξα Πατρὶ**…

Ἀταπείνωτος ἔμεινας, Κυριακή, βασάνοις ὁμιλοῦσα, καὶ τὴν ἐπηρμένην ὀφρὺν κατέβαλες.

**Καὶ νῦν…Θεοτοκίον**

Ῥῦσαι πάσης κακώσεως, τοῦ δυσμενοῦς, Παρθένε τοὺς εἰδότας, ἀληθῶς Θεοῦ σε Μητέρα πάναγνε.

**Κανὼν τῆς Θεοτόκου**

**Ὁ Εἱρμὸς**

Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων ποιητὴς Κύριος, ἐν τῷ φωτὶ τῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς· ἐκτός σου γὰρ ἄλλον Θεὸν οὐ γινώσκομεν.

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅπλον ἀήττητον, κατὰ ποικίλων πειρασμῶν ἔχοντες, τῶν δυσμενῶν πάσης ἐπηρείας, λυτρούμεθα σαφῶς, οἱ σὲ Θεοτόκον ἀεὶ ἐπιστάμενοι.

**Στίχ**. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νόμου τὸ πλήρωμα, ἡ ἀνωτέρα Χερουβεὶμ τέτοκας, τὸν τοῦ Θεοῦ ἐκ σοῦ σαρκωθέντα, Υἱὸν μονογενῆ, ὃν ὑπὲρ τῶν δούλων τῶν σῶν ἐκδυσώπησον.

**Στίχ**. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸν τοῦ παντὸς ποιητήν, ἐν ταῖς ἀγκάλαις σου Ἁγνὴ φέρουσα, τοῦτον ἡμῖν ταῖς σαῖς ἱκεσίαις, εὐΐλατον δίδου, τοῖς νῦν ἐκ καρδίας, πρὸς σὲ καταφεύγουσιν.

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀπὸ στενώσεως, καὶ κατωδύνου μου ψυχῆς δέησιν, τῶν οἰκτιρμῶν μόνη τῇ τεκούσῃ, τὸν αἴτιον Λόγον, προσφέρω ὁ τάλας, οἰκτείρασα σῶσόν με.

**ᾨδὴ ε'.**

**Ὁ τοῦ φωτὸς χορηγός**

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Τὴν καθαράν σου ψυχήν, ναὸν Θεοῦ παναληθῆ δείξασα, Κυριακή, ναοὺς τῶν εἰδώλων ἠδάφισας, Χριστόν, ἐπικαλουμένη, τὸν σὲ δυναμώσαντα.

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Ὕψωσας χεῖρας καὶ νοῦν, πρὸς τὸν Χριστὸν Κυριακὴ ἔνδοξε, καὶ φοβερῷ, σεισμῷ τοὺς ἀθέους κατέπληξας εἰς γῆν, κατανενευκότας, καὶ βλέπειν μὴ σθένοντας.

**Δόξα Πατρὶ...**

Σὲ ὁ τῶν ὅλων Θεός, θαρσοποιεῖ ζώσῃ φωνῇ ἄνωθεν, τοὺς αἰκισμούς, φέρειν τῶν ἀνόμων, γενναίῳ λογισμῷ, ὅπως ἀναδήσῃ, τῆς νίκης τὸν στέφανον.

**Καὶ νῦν...Θεοτοκίον**

Ἔλυσας Ἄχραντε, τῶν προπατόρων τὴν ἀρὰν τέξασα, ἄνευ σαρκός, σεμνὴ θελημάτων, τὸν πάντα τῷ αὐτοῦ, θελήματι θείῳ, σαφῶς οὐσιώσαντα.

**Κανὼν τῆς Θεοτόκου**

**Ὁ Εἱρμὸς**

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτηρίας λιμένα γινώσκων σε, πλέων πολυφρόντιδος βίου τὴν θάλασσαν, ἐπικαλοῦμαι Δέσποινα, κυβερνῆτιν ψυχῆς μου γενέσθαι σε.

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐνεδύθην στολὴν κακουχούμενος, Μήτηρ Ἀειπάρθενε, τῆς ἀφροσύνης μου, ἀλλ' ἡ Θεὸν κυήσασα, τῆς χαρᾶς τὸν χιτῶνα ἀντίδος μοι.

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱερᾶς πολιτείας ἐκπέπτωκα, ἀθυμῶν ὁ δείλαιος, ἀλλ' ἐπανάγαγε, εὐλογημένη Δέσποινα, προσταγαῖς τοῦ Υἱοῦ σου ῥυθμίζουσα.

**Στίχ.** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Συμπαθείας με θείας ἀξίωσον, ἡ τὸν συμπαθέστατον Λόγον κυήσασα, τὸν τῷ ἰδίῳ αἵματι, ἐκ φθορᾶς τοὺς ἀνθρώπους ῥυσάμενον.

**ᾨδὴ στ'.**

**Ἐν ἀβύσσῳ πταισμάτων.**

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Ὑπερέβης τοὺς ὅρους τῆς φύσεως, ἐν τῇ ὑπὲρ φύσιν ἀθλήσει, Πανεύφημε, καὶ τὸν τὴν Εὔαν τρώσαντα, τοῖς μεγίστοις σου πόνοις κατέτρωσας.

**Στίχ.** Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Σταλαγμοῖς τῶν αἱμάτων σου Πάνσεμνε, τῆς πολυθεΐας βυθὸν ἀπεξήρανας, καὶ ἰαμάτων πέλαγος, τοῖς πιστῶς προσιοῦσιν ἀνέβλυσας.

**Δόξα Πατρὶ...**

Ἐπὶ βήματος θῆρες ἠδέσθησαν, σὲ τὴν ἀδιάφθορον ἀμνάδα ἔνδοξε, Κυριακὴ καὶ σέβας σοι, ὡς Χριστὸν σεβομένη ἀπένειμαν.

**Καὶ νῦν…Θεοτοκίον**

Βασιλέα κυήσασα Κύριον, οἷά περ Βασίλισσα θεοχαρίτωτε, τοὺς ἐπὶ σοὶ προστρέχοντας, οὐρανῶν βασιλείας ἀξίωσον.

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

***Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...***

**Κάθισμα Ἦχος πλ.α'**

**ὁ β' χορὸς**

**Τὸν συνάναρχον λόγον.**

Τὰς βασάνους γενναίως ἡ ἀθληφόρος σου, ὑπομείνασα πάσας τὰς τῶν τυράννων Χριστέ, κατεπάτησεν ἐχθρὸν τὸν πολυμήχανον, καὶ ἀνεδείχθη ἀληθῶς τροπαιοφόρος παρ' αὐ-τοῦ, καὶ στέφος εἴληφε δόξης, ἐκ σοῦ τοῦ ἀγωνοθέτου καὶ νῦν πρεσβεύει εἰς τὸ σωθῆναι ἡμᾶς.

**ὁ α' χορὸς**

**Δόξα Πατρὶ... Καὶ νῦν... Θεοτοκίον**

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων **τὸν Τόκον σου.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

***Σὺ γὰρ εἶ ὁ Βασιλεύς...***

**Κοντάκιον Ἦχος β' Τὰ ἄνω ζητῶν.**

Ἡ μάρτυς Χριστοῦ, ἡμᾶς συνεκαλέσατο, τοὺς ἄθλους αὐτῆς τοὺς θείους καὶ παλαίσματα, ἐγκωμίοις ᾄσαι νῦν φερωνύμως αὐτὴ γὰρ πέφηνεν ὡς ἀνδρεία τῷ φρονήματι, **κυρία νοός τε, καὶ παθῶν ἀπρεπῶν.**

**Ὁ Οἶκος**

Τῆς τῶν εἰδώλων πλάνης κρατούσης ἀνὰ πᾶσαν τὴν γῆν, καὶ περιπολούσης, φιλόχριστοι. Μέδοντός τε δυσσεβοῦς, καὶ ἀπάνθρωπου ὄντος παρὰ πάντας ἀνθρώπους, προσεκυνεῖτο ἡ τῶν ἀθέων μιαρὰ καὶ δυσώνυμος αἵρεσις' τῇ τούτου γὰρ ἀθεωτάτῃ φωνῇ τὰ πλήθη ὑπήκουσεν, ὡς τοὺς μὴ εἴκοντας τῇ αὐτοῦ ἀσεβείᾳ θάνατον ἀπειλῆσαι σφοδρόν τε καὶ δύσμορον. Ἀλλ' ἡ μάρτυς Χριστοῦ, τὰς τῶν τυράννων ἀθέους προσταγάς τε καὶ ἀπειλὰς καταπτύσασα, καὶ Χριστὸν τὸν Θεὸν ἐν μέσῳ τοῦ σταδίου κηρύξασα, τὸν ἐχθρὸν κατεπάτησεν. Ὅθεν ὤφθη ἀληθῶς **κυρία νοός τε καὶ παθῶν ἀπρεπῶν.**

**Συναξάριον**

Τῇ **Ζ' τοῦ αὐτοῦ μηνός**, Μνήμη τῆς Ἁγίας ἐνδόξου Παρθενομάρτυρος Κυριακῆς.

**Στίχοι**

- Κυριακὴ θανοῦσα τὴν τομὴν φθάνει
- Προαιρέσει, πλὴν καὶ τελειοῦται ξίφει.

Ἑβδομάτῃ προτομῇ ξίφεος θᾶνε Κυριακή.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θωμᾶ τοῦ ἐν τῷ Μαλεῷ.

**Στίχοι**

- Διεὶς πτέρυγας, εἶπεν ἂν Μωσῆς, Πάτερ,

- Ὡς ἀετός τις ἐξανέπτης πρὸς πόλον.
- Ἑβδομάτῃ Θωμᾶν θάνατος μέλας ἔμφρονα εἷλεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Περεγρίνου, καὶ τῶν σὺν αὐτῷ, Λουκιανοῦ, Πομπηΐου, Ἡσυχίου, Παππίου, Σατορνίνου καὶ Γερμανοῦ.

Οἱ ἅγιοι νεομάρτυρες Πολύκαρπος καὶ Εὐάγγελος ξίφει τελειοῦνται.

Ὁ ἅγιος Ἱερομάρτυς Εὐστάθιος πυρὶ τελειοῦται.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεὸς, ἐλέησον ἡμᾶς . Ἀμήν.

**ΚΑΤΑΒΑΣΙΑΙ**

**ὁ α′ χορός**

**Ἦχος δ′. Ὠιδὴ α′**

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

**ὁ β′ χορός**

**Ὠιδὴ γ′**

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου...

**ὁ α′ χορός**

...στεφάνων δόξης ἀξίωσον.

**ὁ β′ χορός**

**Ὠιδὴ δ′**

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

**ὁ α′ χορός**

**Ὠιδὴ ε′**

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

**ὁ β′ χορός**

**Ὠιδὴ ϛ′**

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

**ὁ α′ χορός**

**Ὠιδὴ ζ′**

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**ὁ β′ χορός**

**Ὠιδὴ η′**

**Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον**

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, **εἰς πάντας τοὺς αἰῶνας.**

*Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...*

**ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ')**

**ὁ α' χορός**

**Στίχ.** Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**ὁ β' χορός**

**Στίχ.** Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

**ὁ α' χορός**

**Στίχ.** Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

**ὁ β' χορός**

**Στίχ.** Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

**ὁ α' χορός**

**Στίχ.** Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν Τιμιωτέραν...

**ὁ β' χορός**

**Στίχ.** Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

**Καταβασία**

**ὁ α' χορός**

**ᾠδὴ θ'.**

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, **Θεοτόκε ἁγνή, ἀειπάρθενε.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

*Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...*

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

**ὁ α' χορὸς**

**Τῶν μαθητῶν ὁρώντων σε.**

Κυριακὴν τὴν μάρτυρα καὶ παρθένον, ᾠδαῖς ἐναρμονίοις ἀνευφημοῦμεν, αὕτη γὰρ ηὐλόγησε τοῦ σώματος, διαφθερεῖσθαι μέλλοντος, ἄθλους πολλοὺς ὑποστᾶσα, διὰ Χριστοῦ τὴν ἀγάπην.

**ὁ β' χορὸς**

### Θεοτοκίον

**Ἡ**μεῖς ἐν σοὶ καυχώμεθα Θεοτόκε, καὶ πρὸς Θεόν σε ἔχομεν προστασίαν' ἔκτεινον τὴν χεῖρά σου τὴν ἄμαχον, καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν σοῖς ἐξαπόστειλον δούλοις, **βοήθειαν ἐξ ἁγίου.**

## ΑΙΝΟΙ

**ὁ α' χορός**

**Ἦχος πλ. δ'**

**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**ὁ β' χορός**

**Α**ἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**ὁ α' χορὸς**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

**Ὢ τοῦ παραδόξου θαύματος.**

**Μ**άρτυς, Κυριακὴ ἔνδοξε, τῶν ἀθλουσῶν γυναικῶν, τὸν εὐῶδες κειμήλιον, καὶ παρθένων καύχημα, σὲ ἐν ὕμνοις γεραίρομεν, καὶ τὴν εἰκόνα κατασπαζόμεθα, ἐξ ἧς περ ῥεῖθρα θείων ἰάσεων, ἀπαρυόμενοι, τὸν Χριστὸν δοξάζομεν τὸν ὑπὸ σοῦ, δοξασθέντα πρότερον, Μάρτυς πανεύφημε.

**ὁ β' χορὸς**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

**Χ**αίροις, Μαρτύρων τὸ καύχημα, καὶ παρθενίας σοφή, καθαρὸν ἐνδιαίτημα, χαίροις τὰ σεβάσματα, τῶν εἰδώλων συντρίψασα, καὶ σταδίῳ ὁμολογήσασα, Χριστὸν τῶν ὅλων Κτίστην καὶ Κύριον, ὅθεν καὶ ἤθλησας, Κυριακὴ ἔνδοξε, Μάρτυς Χριστοῦ, διὸ τῶν τιμώντων σε, ἀεὶ μνημόνευε.

**ὁ α' χορὸς**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

**Δ**εῦτε, συστήματα ἅπαντα, τῶν εὐσεβῶν ἐν ναῷ, τῆς Ἁγίας συνδράμωμεν, καὶ κατασπασώμεθα, μετὰ πόθου καὶ πίστεως, αὐτῆς τὴν θείαν μορφὴν γεραίροντες, ταύτην ἐν ὕμνοις, καὶ ἐκβοήσωμεν, Μάρτυς πανεύφημε, Κυριακή, μέμνησο τῶν σοῦ πιστῶς, μνήμην τὴν πανίερον, τιμώντων ᾄσμασι.

**ὁ β' χορὸς**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**Μ**άρτυς, τοῦ Χριστοῦ πανεύφημε, σὺ τὸν Δεσπότην Χριστόν, ὁλοψύχως ποθήσασα, τῶν βασάνων ἤνεγκας, τὰς πληγὰς καρτερώσασα, καὶ τοῖς θηρίοις, βορὰ ἐκδέδωσαι, αἰκίας πάσαις διὰ τὸν σὸν ἐραστήν, καθυπομείνουσι, τῶν στεφάνων ἔτυχες τῶν παρ' Αὐτοῦ, Κυριακὴ ἔνδοξε, ὅθεν τιμῶμέν σε..

**ὁ α' χορὸς**

**Δόξα Πατρί... Ἦχος πλ. α'**

**Τ**ῇ παρθενικῇ σου θελχθεὶς ὡραιότητι ὁ βασιλεὺς τῆς δόξης Χριστός' ὡς ἀμώμητον νύμφην ἑαυτῷ σε ἡρμόσατο, ἀκηράτῳ συναφείᾳ' ἐν γὰρ τῷ θελήματι αὐτοῦ παρασχόμενος τῷ κάλλει σου δύναμιν, κατ' ἐχθρῶν τε καὶ παθῶν, ἀήττητον ἔδειξεν' ἐγκαρτερήσασαν αἰκίαις πικραῖς καὶ βάσανοι δριμυτάτοις, διπλῷ στέφει δισσῶς σε

κατέστεψε, καὶ παρέστησεν ἐκ δεξιῶν αὐτοῦ, ὡς βασίλισσαν πεποικιλμένην' αὐτὸν δυσώπησον Κυριακὴ ἀθληφόρε' τοῖς ὑμνηταῖς σου δοθῆναι σωτηρίαν καὶ ζωὴν καὶ μέγα ἔλεος.

**ὁ β' χορὸς**

**Καὶ νῦν... Θεοτοκίον ἦχος ὁ αὐτός.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν **τῶν ψυχῶν ἡμῶν.**

## Δοξολογία Μεγάλη

**εἰς ἦχον πλ. α' ( Ἀργή ἢ σύντομος )**

**ὁ α' χορός**

- · Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

**ὁ β' χορός**

- · Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

**ὁ α' χορός**

- · Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

**ὁ β' χορός**

- · Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

**ὁ α' χορός**

- · Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

**ὁ β' χορός**

- · Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

**ὁ α' χορός**

- · Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

**ὁ β' χορός**

- · Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

**ὁ α' χορός**

- · Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

**ὁ β' χορός**

- · Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

**ὁ α' χορός**

- · Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**ὁ β' χορός**

- · Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**ὁ α' χορός**

- · Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**ὁ β' χορός**

- · Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα' Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

**ὁ α′ χορός**

- · Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

**ὁ β′ χορός**

- · Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

**ὁ α′ χορός**

- · Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ β′ χορός**

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ α′ χορός**

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ β′ χορός**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**ὁ α′ χορός**

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ὁ β′ χορός**

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ α′ χορός**

**καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ**

Ἅγιος ὁ Θεός,

**ὁ β′ χορός**

Ἅγιος Ἰσχυρός,

**ὁ α′ χορός**

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**καὶ εὐθύς**

**ὁ β′ χορός**

**τὸ Ἀπολυτίκιον Ἦχος α′**

**Τοῦ λίθου σφραγισθέντος.**

Φερωνύμως τῇ κλήσει τὴν σπουδήν σου κατάλληλον, ἀνεδείξω ἀληθῶς, Κυριακὴ μεγαλώνυμε' κυρία σαρκός τε καὶ παθῶν ἀτίμων ἐφάνης ἀνδρικῶς, καὶ παρέχεις τὰς ἰάσεις τοῖς εὐσεβῶς τῷ ναῷ σου προσπελάζουσι' δόξα τῷ σὲ δοξάσαντι Χριστῷ' δόξα τῷ σὲ στεφανώσαντι' δόξα τῷ ἐν κινδύνοις ἡμῶν **προστάτην δείξαντι.**

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΑΝΤΙΦΩΝΑ

### Ἀντίφωνον Α'

### Ἦχος β΄.

**Στίχ. α΄.** Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

**Στίχ. β΄.** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

**Στίχ. γ΄. Κ**ύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

**Δόξα Πατρὶ...Καὶ νῦν...**

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

## Ἀντίφωνον Β'

**Ἦχος ὁ αὐτὸς.**

**Στίχ. α΄. Α**ἴνει, ἡ ψυχή μου, τὸν Κύριον αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι' Ἀλληλούϊα.

**Στίχ. β΄. Μ**ακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,...

**Στίχ. γ΄. Β**ασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,...

**Δόξα Πατρί... Καὶ νῦν...**

**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

## Ἀντίφωνον Γ'

**Στίχ. α΄. Ὑ**πομένων ὑπέμεινα τόν Κύριον, καί προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

**Ἀπολυτίκιον Ἦχος α'**

**Τοῦ λίθου σφραγισθέντος.**

**Φ**ερωνύμως τῇ κλήσει τὴν σπουδήν σου κατάλληλον, ἀνεδείξω ἀληθῶς, Κυριακὴ μεγαλώνυμε' κυρία σαρκός τε καὶ παθῶν ἀτίμων ἐφάνης ἀνδρικῶς, καὶ παρέχεις τὰς ἰάσεις τοῖς εὐσεβῶς τῷ ναῷ σου προσπελάζουσι' δόξα τῷ σὲ δοξάσαντι Χριστῷ' δόξα τῷ σὲ στεφανώσαντι' δόξα τῷ ἐν κινδύνοις ἡμῶν προστάτην δείξαντι.

**Στίχ. β΄. Κ**αί ἔστησεν ἐπί πέτραν τούς πόδας μου, καί κατηύθυνεν τά διαβήματά μου.

Φερωνύμως τῇ κλήσει...

## Εἰσοδικὸν

( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελεῖται συλλείτουργον)

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....

...ψάλλοντάς σοι' Ἀλληλούϊα.

( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελεῖται συλλείτουργον)

**Ἀπολυτίκιον Ἦχος α'**

**Τοῦ λίθου σφραγισθέντος.**

**Φ**ερωνύμως τῇ κλήσει τὴν σπουδήν σου κατάλληλον, ἀνεδείξω ἀληθῶς, Κυριακὴ μεγαλώνυμε' κυρία σαρκός τε καὶ παθῶν ἀτίμων ἐφάνης ἀνδρικῶς, καὶ παρέχεις τὰς

ἰάσεις τοῖς εὐσεβῶς τῷ ναῷ σου προσπελάζουσι' δόξα τῷ σὲ δοξάσαντι Χριστῷ' δόξα τῷ σὲ στεφανώσαντι' δόξα τῷ ἐν κινδύνοις ἡμῶν προστάτην δείξαντι.

Ἕτερον. **Ἦχος δ'. Ταχὺ προκατάλαβε.**

**Ὡ**ς βρύσις πολύκρουνος παρθενομάρτυς Χριστοῦ, κατήρδευσας πάνσοφε τὴν Ἐκκλησίαν αὐτοῦ, καὶ ἤθλησας ἄριστα' ἔσωσας τοὺς ἐν σκότει τῆς εἰδωλομανίας, αἴγλη τῶν σῶν θαυμάτων, Κυριακὴ ἀθληφόρε' διὸ ἐν παῤῥησίᾳ Χριστῷ πρέσβευε σωθῆναι ἡμᾶς.

**Τοῦ Ναοῦ**

( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελεῖται συλλείτουργον)

**Κοντάκιον Ἦχος β'**

**Π**ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, **Θεοτόκε, τῶν τιμώντων σε.**

## Τρισάγιον.

## Ἀπόστολος

**Τῆς ῾Αγίας**: (Γαλ. γ΄ 23–29, δ΄1-5)

**Προκείμενον.** Ἦχος δ΄

**Θ**αυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

**Στίχ.** Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα .**

**Ἀ**δελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ ᾿Ιησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· οὐκ ἔνι ᾿Ιουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ ᾿Ιησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ ᾿Αβραὰμ σπέρμα ἐστέ, κατ᾿ ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ᾿ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶν καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτως καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, **ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.**

Ἀλληλούϊα **( γ')**

## Εὐαγγέλιον

## Ἐκ τοῦ κατὰ Ματθαῖον

**(Ματθ. ιε΄ 21-28)**

*Τῷ καιρῷ ἐκείνῳ, ἐξελθὼν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἔκραζεν λέγουσα, Ἐλέησόν με, Κύριε, υἱὸς Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτουν αὐτὸν λέγοντες, Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα, Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπεν, Ναί, Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς* ***ἀπὸ τῆς ὥρας ἐκείνης.***

Δόξα σοι Κύριε, δόξα σοι.

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου*

## Εἰς τό, Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, **σὲ μεγαλύνομεν.**

## Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β'

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων μυστηρίων Σου. στήριξον ἡμᾶς ἐν τῶ σῶ ἁγιασμῶ ὅλην τήν ἡμέραν μελετᾶν τήν δικαιοσύνην Σου. Ἀλληλούΐα, Ἀλληλούΐα, Ἀλληλούΐα.

ἦχος β'

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρίς).

Ἀπόλυσις

«...Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...»

https://agioskosmasoaitolos.wordpress.com